ἄρρην, φρίττει καθ' αὑτὴν καὶ ἔγκυος γίνεται καὶ τίκτει ὑπηνέμια, ὡς ἐπιθυμοῦσα καὶ τοῦ ἀφεῖναι τότε, καὶ ἀφεῖσα [παύεται ταχὺ, ὡς] ὅταν καὶ τῷ ἄρρενι [ὕπαρ καὶ μὴ] ὄναρ συνῇ. Ποιεῖ δὲ τοῦτο καὶ τἄλλα, ἐπειδὴ καὶ τῶν ᾀδουσῶν ἀκρίδων ἤδη τις ἐπειράθη τρέφουσα, ἔτι ἁπαλὰς λαβοῦσα, καὶ ἐγένοντο αὐτόματοι ἔγκυοι. (2) Ἐκ δὴ τούτων δῆλον ὅτι συμβάλλεται εἰς τὸ σπέρμα πᾶν τὸ θῆλυ, εἴ γε καὶ ἐφ' ἑνὸς γένους φαίνεται τοῦτο γινόμενον. Οὐδὲν γὰρ διαφέρει τοῦ ζῴου τὸ ὑπηνέμιον τούτου, ἀλλ' ἢ τῷ μὴ γεννᾶν ζῷον· τοῦτο δ' ὅτι καὶ παρ' ἀμφοῖν ἦλθεν. Διὸ οὐδὲ τὰ ἀπὸ τοῦ ἄρρενος ἅπαντα γόνιμα φαίνεται, ἀλλ' ἔνια ἄγονα, ὅταν μὴ ἐξ ἀμφοῖν ὡς δεῖ συναρμοσθῇ. Ἔτι γυναῖκες ἐξονειρώττουσι, καὶ ταύταις γίνεται, ὡς ὅταν συγγένωνται ἀνδρὶ, ταὐτὰ παθήματα μετὰ τὸν ὀνειρωγμὸν, διάλυσις καὶ ἀδυναμία. Δῆλον τοίνυν, εἰ ἐν τῷ ἐξονειρωγμῷ φαίνονται προϊέμεναι, [ὡς] καὶ τότε συμβάλλονται, ὅτι μετὰ τοὺς ἐξονειρωγμοὺς ὁ αὐτὸς τόπος ἀφυγραίνεται, καὶ θεραπείας δέονται τῆς αὐτῆς αὐταὶ ὑφ' αὑτῶν, ὥσπερ ὅταν συγγένωνται ἀνδρί· ὥστε φανερὸν ὅτι παρ' ἀμφοῖν γίνεται πρόεσις τοῦ σπέρματος, εἰ μέλλει γόνιμον ἔσεσθαι. (3) Προΐενται δ' οὐκ εἰς αὑτὰς αἱ ὑστέραι, ἀλλ' ἔξω, οὗ καὶ ὁ ἀνὴρ, εἶτ' ἐκεῖθεν ἕλκουσιν εἰς αὑτάς. [Πῶς] οὖν τὰ μὲν γεννᾷ ἀφ' αὑτῶν τὰ θήλεα, οἷον ὄρνις τὰ ὑπηνέμια, τὰ δ' οὐθὲν, οἷον ἵπποι καὶ πρόβατα; Ἢ ὅτι ἡ μὲν ὄρνις εἰς τὴν ὑστέραν προΐεται, καὶ οὐκ ἔστιν ἔξω τόπος εἰς ὃν ἀφίησιν, οὐδὲ ὁ ἄρρην; Διὸ ἐὰν μὴ τύχῃ

1. Φρίττει καθ' αὑτὴν] πίπτει ὑπ' αὐτὴν Bk. — 3. Ὄναρ] ἀνὴρ Bk. — 8-9. Τοῦ ζῴου] τὸ ζῷον = Ἀλλ' ἢ] ἀλλὰ Bk. — 21. Ἕλκουσιν] ἕλκει Bk. — 22. Πῶς οὖν] ὧν Bk. — 25. Οὐδὲ ὁ ἄρρην. Διὸ Bk.